Ακαδημία Αθηνών / Academy of Athens

**μέγας** **1.** Μέγας/μεγάλος, great/large, Ξενοφάνης 30.3-5 *οὔτε γὰρ ἐν νέφεσιν ... ἄνευ πόντου μ ε γ ά λ ο ι ο ... ἀλλὰ μ έ- γ α ς πόντος γενέτωρ νεφέων ἀνέμων τε καὶ ποταμῶν* Ζήνων 1.9-10 *οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μ ε γ ά λ α· μικρὰ μὲν ὥστε μὴ ἔχειν μέγεθος, μ ε γ ά λ α δὲ ὥστε ἄπειρα εἶναι* Ἐμπεδοκλῆς 30.1 *αὐτὰρ ἐπεὶ μ έ γ α Νεῖκος ἐνὶμμελέεσσιν ἐθρέφθη ἐς τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο* 41 *ἀλλ' ὁ μὲν ἁλισθεὶς μ έ γ α ν οὐρανὸν ἀμφιπολεύει* 50 *Ἶρις δ' ἐκ πελάγους ἄνεμον φέρει ἢ μ έ γ α ν ὄμβρον* 112.1 *ὦ φίλοι, οἳ μ έ γ α ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος ναίετ' ἀν' ἄκρα πόλεος* Ἀναξαγόρας 3.3-4 *ἀλλὰ καὶ τοῦ μ ε γ ά λ ο υ ἀεί ἐστι μεῖζον. καὶ ἴσον ἐστὶ τῷ σμικρῷ πλῆθος, πρὸς ἑαυτὸ δὲ ἕκαστόν ἐστι καὶ μ έ γ α καὶ σμικρόν* 6.1 *καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μ ε γ ά λ ο υ καὶ τοῦ σμικροῦ πλῆθος* Δημόκριτος 11r (τίτλ.) *Μ έ γ α ς ἐνιαυτὸς ἢ Ἀστρονομίη. Παράπηγμα* 191.4 *τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μ ε γ ά λ α ς κινήσιας ἐμποιεῖν τῇ ψυχῇ. αἱ δ' ἐκ μ ε γ ά λ ω ν διαστημάτων κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι* Ἀρχύτας 1.22-31-37-40 *οὐ γὰρ παραδύεσθαι ἐς τὰν ἀκοὰν ἁμῖν τὼς μ ε γ ά λ ω ς τῶν ψόφων ... οὐ μόνον δέ κα τούτῳ γνοίημεν, ἀλλὰ καὶ ὄκκα ἄμμες ἢ λέγοντες ἢ ἀείδοντες χρήζομές τι μ έ γ α φθέγξασθαι καὶ ὀξὺ ... τωὐτὸ δὲ καὶ ταῖς φωναῖς συμβήσεται· τᾷ μὲν ὑπὸ [τῶ] ἰσχυρῶ τῶ πνεύματος φερομένᾳ μ ε γ ά λ ᾳ τε ἦμεν καὶ ὀξέᾳ, τᾷ δὲ ὑπὸ ἀσθενέος μικρᾷ τε καὶ βαρέᾳ. ἀλλὰ μὰν καὶ τούτῳ γά κα ἴδοιμες ἰσχυροτάτῳ σαμείῳ, ὅτι τῶ αὐτῶ φθεγξαμένω μ έ γ α μὲν πόρσωθέν κ' ἀκούσαιμες· μικρὸν δέ, οὐδ' ἐγγύθεν.* || **μέγα δύνασθαι.** Δημόκριτος 95 *τιμαὶ παρὰ τοῖς εὖ φρονέουσι μ έ γ α δ ύ ν α ν τ α ι, οἳ ξυνιᾶσι τιμώμενοι.* || **μέγα.** Πολύ, much, Παρμενίδης 8.57 *τῇ μὲν φλογὸς αἰθέριον πῦρ, ἤπιον ὄν, μ έ γ' [ἀραιὸν] ἐλαφρόν, ἑωυτῷ πάντοσε τωὐτόν, τῷ δ' ἑτέρῳ μὴ τωὐτὸν* Ἐμπεδοκλῆς 137.2 *μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας σφάζει ἐπευχόμενος μ έ γ α νήπιος* **2.** Μέγας/σπουδαῖος, great/important, Ἐμπεδοκλῆς 113.1 *ἀλλὰ τί τοῖσδ' ἐπίκειμ' ὡσεὶ μ έ γ α χρῆμά τι πράσσων, εἰ θνητῶν περίειμι πολυφθερέων ἀνθρώπων;* Φιλόλαος 11.2 *θεωρεῖν δεῖ τὰ ἔργα καὶ τὴν οὐσίαν τῶ ἀριθμῶ καττὰν δύναμιν ἅτις ἐστὶν ἐν τᾷ δεκάδι· μ ε γ ά λ α γὰρ καὶ παντελὴς καὶ παντοεργὸς καὶ

Ακαδημία Αθηνών / Academy of Athens

θείω καὶ οὐρανίω βίω καὶ ἀνθρωπίνω ἀρχὰ καὶ ἁγεμὼν κοινωνοῦσα Διογένης 4.1 ἔτι δὲ πρὸς τούτοις καὶ τάδε μ ε γ ά λ α σημεῖα. ἄνθρωποι γὰρ καὶ τὰ ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι 5.16 ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστίν (ἐπεὶ οὐδὲ τῶν ἀνθρώπων ἀλλήλοις), ἀλλὰ διαφέρει μ έ γ α μὲν οὔ, ἀλλ' ὥστε παραπλήσια εἶναι 6.12-27-32 σχίζεται δ' αὐτῶν ἄκρα ἑκατέρα, ἡ μὲν ἐπὶ τὸν μ έ γ α ν δάκτυλον, ἡ δ' ἐπὶ τὸν ταρσὸν ... αἱ δ' εἰς τὴν κεφαλὴν τείνουσαι διὰ τῶν σφαγῶν φαίνονται ἐν τῷ αὐχένι μ ε γ ά λ α ι ... ἔστι δ' ἑτέρα φλὲψ ἐν τῷ τραχήλῳ παρὰ τὴν μ ε γ ά λ η ν ἑκατέρωθεν, ἐλάττων ἐκείνης ὀλίγον, εἰς ἣν αἱ πλεῖσται ἐκ τῆς κεφαλῆς συνέχουσιν αὐτῆς 8 ἀλλὰ τοῦτό μοι δῆλον δοκεῖ εἶναι, ὅτι καὶ μ έ γ α καὶ ἰσχυρὸν καὶ ἀίδιόν τε καὶ ἀθάνατον καὶ πολλὰ εἰδός ἐστι Δημόκριτος 42 μ έ γ α τὸ ἐν ξυμφορῇσι φρονεῖν ἃ δεῖ 113 μ ε γ ά λ α βλάπτουσι τοὺς ἀξυνέτους οἱ ἐπαινέοντες 191.11 ὅκως ἂν τὰ παρεόντα σοι καὶ ὑπάρχοντα μ ε γ ά λ α καὶ ζηλωτὰ φαίνηται, καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι συμβαίνῃ κακοπαθεῖν τῇ ψυχῇ 194 αἱ μ ε γ ά λ α ι τέρψεις ἀπὸ τοῦ θεᾶσθαι τὰ καλὰ τῶν ἔργων γίνονται 250 ἀπὸ ὁμονοίης τὰ μ ε γ ά λ α ἔργα καὶ ταῖς πόλεσι τοὺς πολέμους δυνατὸν κατεργάζεσθαι, ἄλλως δ' οὔ 276 ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μ ε γ ά λ ο υ ς κινδύνους, πολλὰς δὲ λύπας. || Λεύκιππος 1 ἐν τῷ Μ ε γ ά λ ῳ διακόσμῳ Α 1 (DK II 70,30) Α 10 (DK II 74,26) μ έ γ α κενὸν Α 24 (DK II 78,1) ἐν μ ε γ ά λ ῳ... κενῷ Δημόκριτος 0c (τίτλ.) τὸν Μ έ γ α ν διάκοσμον 4b (τίτλ.) Μ έ γ α ς διάκοσμος.

**μέγεθος.** Μέγεθος, size, Ζήνων 1.2-5-9 εἰ δὲ ἔστιν, ἀνάγκη ἕκαστον μ έ γ ε θ ό ς τι ἔχειν καὶ πάχος καὶ ἀπέχειν αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου... καὶ γὰρ ἐκεῖνο ἕξει μ έ γ ε θ ο ς καὶ προέξει αὐτοῦ τι ... μικρὰ μὲν ὥστε μὴ ἔχειν μ έ γ ε θ ο ς, μεγάλα δὲ ὥστε ἄπειρα εἶναι 2.2-3 μ ε γ έ θ ο υ ς γὰρ μηδενὸς ὄντος, προσγενομένου δέ, οὐδὲν οἷόν τε εἰς μ έ γ ε θ ο ς ἐπιδοῦναι Μέλισσος 3 ἀλλ' ὥσπερ ἔστιν ἀεί, οὕτω καὶ τὸ μ έ γ ε θ ο ς ἄπειρον ἀεὶ χρὴ εἶναι Φιλόλαος 6.15 ἁρμονίας δὲ μ έ γ ε θ ό ς ἐστι συλλαβὰ καὶ δι' ὀξειᾶν Ἀναξαγόρας 1.6 ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ πλήθει καὶ μ ε γ έ θ ε ι Ἀρχύτας 1.21 διὰ τὰν ὑπερβολὰν τοῦ μ ε γ έ θ ε ο ς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ